# E08.07 Aischylos‘ Perser: 1. Epeisodion 2 als docx

**Χορός** [215]
οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ᾽ ἄγαν φοβεῖν λόγοις
οὔτε θαρσύνειν. θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ᾽ ἀποτροπὴν τελεῖν,
τὰ δ᾽ ἀγάθ᾽ ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν
καὶ πόλει φίλοις τε πᾶσι. δεύτερον δὲ χρὴ χοὰς
Γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ᾽ αἰτοῦ τάδε,
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ᾽ εὐφρόνην,
ἐσθλά σοι πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος,
τἄμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχα μαυροῦσθαι σκότῳ.
ταῦτα θυμόμαντις ὥν σοι πρευμενῶς παρῄνεσα.
εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.

**Ἄτοσσα** [226]
ἀλλὰ μὴν εὔνους γ᾽ ὁ πρῶτος τῶνδ᾽ ἐνυπνίων κριτὴς
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ᾽ ἐκύρωσας φάτιν.
ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ᾽, ὡς ἐφίεσαι,
πάντα θήσομεν θεοῖσι τοῖς τ᾽ ἔνερθε γῆς φίλοις,
εὖτ᾽ ἂν εἰς οἴκους μόλωμεν. κεῖνα δ᾽ ἐκμαθεῖν θέλω,
ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός.
[232]
**Χ·** τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων.
**Ἀ·** ἀλλὰ μὴν ἵμειρ᾽ ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν;
**Χ·** πᾶσα γὰρ γένοιτ᾽ ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.
**Ἀ·** ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;
**Χ·** καὶ στρατὸς τοιοῦτος, ἔρξας πολλὰ δὴ Μήδους κακά.
**Ἀ·** καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;
**Χ·** ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
**Ἀ·** πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χεροῖν αὐτοῖς πρέπει;
**Χ·** οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί.
**Ἀ·** τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ;
**Χ·** οὔτινος δοῦλοι κέκληνται φωτὸς οὐδ᾽ ὑπήκοοι.
**Ἀ** πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;
**Χ·** στε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατόν.
**Ἀ·** δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.
**Χ·** ἀλλ᾽ ἐμοὶ δοκεῖν τάχ᾽ εἴσῃ πάντα νημερτῆ λόγον.
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν,
καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

**Ἄγγελος** [249]
ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμήν,
ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς
ὄλβος, τὸ Περσῶν δ᾽ ἄνθος οἴχεται πεσόν.
ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
ὅμως δ᾽ ἀνάγκη πᾶν ἀναπτύξαι πάθος,
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.